# ΜΑΡΚΟΥ ΑΥΡΗΛΙΟΥ ΑΝΤΩΝΙΝΟΥ

## Αὐτοκράτορος καὶ φιλοσόφου.

## «ΤΑ ΕΙΣ ΕΑΥΤΟΝ»

Αἰσχρόν ἐστιν ἐν ᾧ βίῳ τὸ σῶμά σοι μὴ ἀπαυδᾷ, ἐν τούτῳ τὴν ψυχὴν προαπαυδᾶν.

×

Τήρησον σεαυτὸν ἁπλοῦν, ἀγαθὸν, ἀκέραιον, σεμνὸν, ἄκομψον, τοῦ δικαίου φίλον, θεοσεβῆ, εὐμενῆ, φιλόστοργον, ἐρρωμένον πρὸς τὰ πρέποντα ἔργα.

×

Βραχὺς ὁ βίος. Εἷς καρπὸς τῆς ἐπιγείου ζωῆς, διάθεσις ὁσία καὶ πράξεις κοινωνικαί.

×

Τοσοῦτον ἄξιος ἕκαστός ἐστιν, ὅσον ἄξιά ἐστι ταῦτα, περὶ ἃ ἐσπούδακεν.

×

Μὴ αἰσχύνου βοηθούμενος.

×

Οἱ ἄνθρωποι γεγόνασιν ἀλλήλων ἕνεκα.

×

Ὁ ἀδικῶν ἀσεβεῖ

×

Ὁ διώκων τὰς ἡδονὰς οὐκ ἀφέξεται τοῦ ἀδικεῖν.

×

Ὁ ἁμαρτάνων ἑαυτῷ ἁμαρτάνει· ὁ ἀδικῶν, ἑαυτὸν ἀδικεῖ, κακὸν ἑαυτὸν ποιῶν.

×

Ὃ νόμον οὐ βλάπτει, οὔτε πόλιν, οὔτε πολίτην.

×

Καταφρονήσει μου τις; ὄψεται· ἐγὼ δὲ ὄψομαι, ἵνα μή τι καταφρονήσεως ἄξιον πράσσων ἢ λέγων εὑρίσκωμαι

×

Ἐπιτήδευσις ἁπλότητος σκάλμη ἐστίν.

×

Οὐδὲν αἴσχιον λυκοφιλίας.

×

Οὐ τὸ θυμοῦσθαι ἀνδρικόν, ἀλλὰ τὸ πρᾷον καὶ ἥμερον, ὥσπερ ἀνθρωπικώτερον, οὕτω καὶ ἀρρενικώτερον.